# TEZAUR LITURGIC

## 30 IANUARIE

GHEORGHIOS GALANOPOULOS

# PARACLISUL SF.CUVIOASE EMILIA,NONA ŞI ANTUSA

## MAMELE SF.TREI IERARHI VASILE,GRIGORIE ŞI IOAN

ATENA,2020

www.tezaurliturgic.ro



# ΤΩΝ ΑΓΙΩΝ ΜΗΤΕΡΩΝ
# ΤΩΝ ΤΡΙΩΝ ΙΕΡΑΡΧΩΝ
# ΝΟΝΑΣ, ΕΜΜΕΛΕΙΑΣ & ΑΝΘΟΥΣΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ'. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.Ἦχος δ΄.Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἱεραρχῶν Τριῶν Μητέρας ἐν ὕμνοις, περιχαρῶς τῶν φιλεόρτων χορεῖαι, ἀνευφημήσωμεν πιστῶς τιμῶντες αὐτάς, τὴν Βασιλείου Ἐμμέλειαν, Γρηγορίου Νόνναν σεμνήν, σὺν τοῦ Ἰωάννου τε, Χρυσοστόμου Ἀνθούσῃ, ὅ,τι Χριστῷ πρεσβεύουσιν ἀεί, σὺν θείοις τέκνοις, ἡμῖν δοῦναι ἔλεος.

*DOξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Μητέρας Τριῶν Ἱεραρχῶν ᾄδων, τιμῶ πόθῳ.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Μητέρας τιμῶμεν Ἱεραρχῶν, Τριῶν Διδασκάλων, Οἰκουμένης θείαις ᾠδαῖς, Ἐμμέλειαν Νόνναν καὶ Ἀνθοῦσαν, τὰς πρεσβευούσας Θεῷ σὺν Ἁγίοις τε.

Ἡ Σύναξις ἔφανε τῶν τριῶν, ἐνδόξων Μητέρων, ὥσπερ ὄρθρος ἑωθινός, Χριστοῦ τῇ Ἁγίᾳ Ἐκκλησίᾳ, Ὃν δυσωποῦσιν ἀεὶ ἡμᾶς σώσασθαι.

Τὸν ζόφον διώξατε τῶν παθῶν, καὶ κύματα ῥίζαι, αἱ βλαστήσασαι εὐκλεῆ, Χριστοῦ Ἐκκλησία θεία τέκνα, μεθ' ὧν Χριστὸν ἐκτενῶς ἱκετεύσατε.

*Θεοτοκίον.*

Εὐώδης Παράδεισος τῆς τρυφῆς, ἁγνὴ ἀνεδείχθης, ἡ τεκοῦσα ὑπερφυῶς, Χριστὸν Λυτρωτὴν βροτείου γένους, Ὃν μητρικαῖς Σου πρεσβείαις ἱλέωσαι.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ῥῶσιν δὸς μεθ' ὑγείας καὶ λοιμικῆς λύτρωσαι, πάσης ἀσθενείας καὶ βλάβης, τοὺς ἀνυμνοῦντάς σε, καὶ πειρασμῶν ἐξελοῦ, δαιμονικῆς τ' ἐπηρείας, πάντας ὦ Ἐμμέλεια, μνήμην τιμῶντάς σου.

Ἀλγηδόνας σωμάτων καὶ τῆς ψυχῆς τραύματα, ἴασαι βαλσάμῳ νῦν Νόννα, μόνον Φιλάνθρωπον, ἐκδυσωποῦσα λιταῖς, ὡς Γρηγορίου μητέρα, παῤῥησίαν ἔχουσα, σὺν θείοις τέκνοις σου.

Σωφροσύνης ἀγάπης καὶ ἀρετῶν κτήματα, ἔχουσα καρδίᾳ Ἀνθοῦσα, υἱῷ μετέδωκας, παριστημένη μέθ' ᾧ, εἰς τὰς αὐλὰς τοῦ Δεσπότου, τοῦτον δυσωπήσατε, πάντας λυτρώσασθαι.

*Θεοτοκίον.*

Τὴν ἁγνὴν Θεοτόκον ὡς κιβωτὸν ἔχομεν, θείας σωτηρίας ὁλκάδα, καὶ καταφεύγομεν, ὑπὸ τὴν σκέπην

ἀεί, ταύτης ἵνα ὁδηγήσῃ, εἰς λιμένα εὔδιον, Θεοῦ παντάνακτος.

Διάσωσον, ταῖς μητρικαῖς ἱκεσίαις Ἱεραρχῶν Σου, ἡμᾶς Χριστὲ ἐκ κινδύνων καὶ θλίψεων, ῥυσάμενος νόσων τε καὶ γεένης.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτιδας θερμάς, καὶ πρέσβεις πρὸς τὸν εὔσπλαγχνον, κεκτήμεθα ὑμᾶς, Μητέρες θεοπόθητοι, οἱ Ὀρθόδοξοι λέγοντες, Ἐμμέλεια Νόννα καὶ Ἀνθοῦσα σεμναί, σπεύσατε καὶ ῥύσασθε δεινῶν, τοὺς ἀνυμνοῦντας ὑμᾶς θείοις ᾄσμασι.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ῥαθυμίαν διώξατε, λύπην ἐκ καρδφίας νῦν ἀφανίσατε, ὦ Ἐμμέλεια σὺν Νόννῃ τε, καὶ Ἀνθούσῃ ὄκνον ἴστε πώποτε.

Ἰσχυραὶ τῷ φρονήματι, οὖσαι χαρακτῆρας υἱῶν πρὸς κρείττονα, ἐμορφώσατε πανόλβιαι,, ὦ Μητέρων τὸ καλὸν παράδειγμα.

Ὢ σεμναὶ καὶ φιλόστοργοι, τῶν Τριῶν φωστήρων Μητέρες πάνσεπται, τῆς χαρᾶς Χριστοῦ αὐγάσατε, τῷ φωτὶ ἡμᾶς τοὺς ὕμνους ᾄδοντας.

*Θεοτοκίον.*

Νοσημάτων ἐκλύτρωσαι, Δέσποινα ἡμᾶς τοὺς ὑμνολογοῦντάς Σε, καὶ παθῶν τὸ πῦρ ἀπόσβεσον, ταῖς πρὸς τὸν Υἱόν Σου παρακλήσεσι.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἱεροπρεπῶς, σοὺς βιοῦν ἐμάθετε, πίστιν τε Ὀρθόδοξον σαῖς διδαχαῖς, διὸ ἀξίως, ὑμᾶς ἀεὶ μακαρίζομεν.

Εἴθισται καλῶς, βηματίζειν τέκνα ἄωρα, τῇ φροντίδι καὶ ἀγάπῃ μητρικῇ, ὑμῶν δὲ κλάδους, πρὸς θεία ὕψη ὠθήσατε.

Ῥύσασθε ἡμᾶς, πειρασμῶν τοῦ πολεμήτορος, ὦ τριὰς πάντιμε, Μητέρων σοφῶν, καὶ τῇ Τριάδι, σὺν ὑμῶν τέκνοις πρεσβεύσατε.

*Θεοτοκίον.*

ᾅδου τοῦ πικροῦ, ὁ Υἱός Σου ἡμᾶς ἔσωσεν, Ὃν ἐν γαστρί Σου Κόρη σωματικῶς, ἔτεκες αὖθις, Παρθένος μείνασα ἄφθορος.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ῥαπίσματα, νουθεσίας δέδωκας, παιδιόθεν τοῖς σοῖς τέκνοις ὦ Μήτερ, μὴ ἐκ παθῶν, μολυνθῇ ἡ ψυχή των, καὶ ὁ σατὰν ἀφαρπάσῃ πρὸς ὄλεθρον, διὸ Ἐμμέλεια βοῶ, καὶ ἡμῶν κηδεμὼν σὺ νῦν πάρεσο.

Χαρίτωσον, ἡμᾶς Νόννα χάρισιν, δεδειγμένη Χριστοῦ ταύταις πλουσίως, ὅ,τι υἱόν, μεμαθήτευκας

τρόποις, καὶ ζωηῤῥύτοις κατήρδευσας νάμασι, σοφίας τούτου θεϊκῆς, Γρηγορίου πλησθέντος Τριάδος τε.

Ὦ πάνσεπτε, Ἰωάννην τέξασα, τὸν Χρυσόστομον Ἀνθοῦσα δυσώπει, νόσων ἡμᾶς, τὸν Χριστὸν ὅπως ῥύσῃ, τῶν οἰδημάτων κινδύνων καὶ θλίψεων, καὶ ἔνδον μορφωθῇ Θεός, ὡς υἱῷ σου παγχρύσῳ ταῖς χείλεσι.

*Θεοτοκίον.*

Νηστεύοντας, ἐκ παθῶν ἀξίωσον, καὶ δυνάμει Σου ἐνίσχυσον Μῆτερ, ὅ,τι τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχει ἐλπὶς καὶ μεσίτρια, διὸ ὑμνοῦμέν Σε πιστῶς, προσκυνοῦντες τὸν ἄφραστον Τόκον Σου.

Διάσωσον, ταῖς μητρικαῖς ἱκεσίαις Ἱεραρχῶν Σου, ἡμᾶς Χριστὲ ἐκ κινδύνων καὶ θλίψεων, ῥυσάμενος νόσων τε καὶ γεένης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτορες Χριστιανῶν παμμακάριστοι, καὶ προστάται τῶν εὐσεβοφρόνων ὑπάρχετε, ὦ Μητέρες Ἱεραρχῶν Τριῶν οἱ εὐκλεεῖς, διὸ δράμετε, εἰς τὴν ἡμῶν θερμὴν παράκλησιν ταχύ, τῶν βοώντων ἐκ πίστεως· ῥύσασθε δαιμονῶντας, Ἀνθοῦσα σὺν Ἐμμελείᾳ, καὶ Νόννῃ βλάβης καὶ δεινῶν, σαῖς πρὸς Κύριον ἐντεύξεσι.

Οἱ ἀναβαθμοί· τὸ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον Ὁσιακόν.

Δόξα: *Ταῖς τῶν θεοφρόνων Μητέρων ἱκεσίαις...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μὴ οὖν ἀποπέμψητε, ἡμᾶς τοὺς μεμολυσμένους, καὶ φρενῶν ἀστάτους τε, πρὸς ὑμᾶς προσφεύγοντας ὢ πανσέβαστοι, Νόννα Ἐμμέλεια, καὶ Ἀνθοῦσα ῥύσασθε, ἐκ κινδύνων καὶ τῶν θλίψεων, ῥῶσιν βραβεύσατε, ἄμφῳ καὶ ὑγείαν δωρήσασθε, δαίμονας φυγαδεύουσαι, καὶ τὰς χαλεπὰς συμφορὰς τοῦ βίου, ὅπως ἀνυμνοῦμεν, ὑμᾶς σὺν τοῖς υἱοῖς περιχαρῶς, καὶ ἐκζητοῦμεν δεήσεσι, πρὸς τὸν ὑπεράγαθον.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἀγγέλοις καὶ Ἁγίοις αὐλιζόμενοι πόλῳ παρακαλεῖτε Χριστόν, ὑπὲρ ἡμῶν Μητέρες, ῥυσθῆναι τῆς γεένης, τοὺς βοῶντας σεβάσμιαι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δαιμόνων ἐπιθέσεις σὺν αἱρέσεων θράση ἐπαναστάσεις τ᾽ ἐχθρῶν, μακρύνατε Μητέρες, Σωτῆρι

δυσωποῦσαι, ἵνα χαίροντες μέλπωμεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὢ δόξα τῶν Μητέρων ἀνυμνοῦμεν ἐνθέοις ψαλμοῖς ὑμᾶς καὶ ᾠδαῖς, Ἐμμέλεια καὶ Νόνα, Ἀνθοῦσα θεῖαι ῥίζαι, τῆς τρυφῆς ἀξιώσασθαι, τῆς Βασιλείας Θεοῦ, πρεσβείαις ὑμῶν πάντας.

*Θεοτοκίον.*

Νυμφίον τῶν ὡραῖον τὸν παρὰ πάντας κάλλει βροτοὺς τὸν Λόγον Θεοῦ, ἐκύησας Παρθένε, καὶ τέτοκας ἀφθόρως, παρθενίαν τηρήσασαν, διὸ ἡμῶν τῶν παθῶν, τὴν φλόγαν σβέσον Κόρη.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Τὰς φιλοστόργους, Ἱεραρχῶν Τρεῖς Μητέρας, ἀνυμνοῦμεν πιστῶς ἐκβοῶντες· πάντας ἐκ κινδύνων, τηρήσατε ἀτρώτους.

Ἱεραρχίας, πανευκλεοῦς τὰ σὰ τέκνα, κοσμουμένης ὁρᾶτε Μητέρες, καὶ δοξολογεῖτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Μέλεσι θείοις, σὺν Ἐμμελείᾳ τῇ Νόννῃ, καὶ Ἀνθούσῃ πιστῶς ἀνυμνοῦμεν, καὶ πρὸς τὸν Σωτῆρα, λιταῖς αὐτῶν ποθοῦμεν.

*Θεοτοκίον.*

Ὤφθη ἀνθρώποις, ἐκ Σοῦ Θεοῦ ἀποῤῥήτως, τῶν βροτῶν Ἁγνὴ ἁγιωτέρα, ὅθεν πάσης βλάβης, σκέπε τοὺς Σὲ ὑμνοῦντας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Πιστῶς ὑμνολογοῦμεν, τὰς εὐεργεσίας, ὑμῶν καὶ θείων τέκνων, Μητέρες σεμναί, σὺν γυναικῶν ταῖς χορείαις καὶ Θεομήτορι.

Ὀφρὺν τοῦ  παγκακίστου, ταπεινοφρονοῦσαι, Μητέρςς τῇ δυνάμει, Σταυροῦ ἐκποδῶν, ἀποδιώξατε πόῤῥῳ, ἀειμακάρισται.

Θεὸν καὶ Βασιλέα, ἵνα ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ, Μητέρες ἡμᾶς, καθικετεύσατε μνήμην, ὑμῶν γεραίροντας.

*Θεοτοκίον.*

Ὦ Μῆτερ τοῦ Ὑψίστου, πέλεις θεῖος θρόνος, διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῶς Θεοτόκον, ὁμολογοῦντάς Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Γνῶσιν μεμαθήκατε τοῦ Θεοῦ, πίστεως τῷ τρόπῳ, εὐσεβείας τῷ λογισμῷ, ἥνπερ ἔνδον τέκνοις, Ἐμμέλεια καὶ Νόννα, σὺν τῇ σεμνῇ Ἀνθούσῃ, κατεφυτεύσατε.

Ἔλεος Δεσπότου ἐπιποθῶν, μῆτερ τὸ σὸν τέκνον, ἠγωνίσθη ὑπερφυῶς, καὶ πληθὺν δαιμόνων,

κατήσχυνε τῷ ὅπλῳ, Σταυροῦ καὶ τῆς Τριάδος, φωστὴρ γενόμενος.

Ὢ κατορθωμάτων ἀσκητικῶν, ἱδρώτων καμάτων, δακρυῤῥόων τε προσευχῶν, ἅπερ ἐκ Μητέρων, ἐμάθετε Πατέρες, διὸ ἀνευφημοῦμεν, ὑμᾶς γεραίροντες.

Ῥύσασθαι παγίδων τοῦ πονηροῦ, Μητέρες τοὺς πίστει, ἐξυμνοῦντας ἆθλα ὑμῶν, ἐνάρετον βίον, καὶ διδαχῶν τὸ πλῆθος, δι’ ὧν τοὺς τρισμεγίστους, υἱοὺς ἐκθρέψατε.

Γέγραπται Μητέρες βίβλῳ Δαβίδ, ὁρισμὸς ὁποῖος, τοῦ δικαίου ἀνδρὸς ἐστίν, ἐλεῶν ἀπαύστως, κατατρυφᾶν Κυρίῳ, φῶς ἀρετῶν ἐκλάμπων, ἃ μετεδώκατε.

Ἱκεσίας δέξασθε εὐμενῶς, τῶν πιστῶς τιμώντων, ὑμῶν ἔνδοξον ἑορτήν, ὦ σεμναὶ Μητέρες, Ἐμμέλεια καὶ Νόννα, καὶ δότε σὺν Ἀνθούσῃ, πᾶσι τὰ κρείττονα.

Ὤφθητε ἐν κόσμῳ εἰδωλικῷ, εὐσεβείας σκεύη, ἐκβλαστήσασαι εὐκλεῆ, τέκνα ὦ Μητέρες, Ἱεραρχῶν Κυρίου, διὸ ἡμῶν τὸ θεῖον, ἐστὲ παράδειγμα.

Ὕβριν ἐκδιώξατε μισητήν, πάθη ψυχοφθόρα, δυσπιστίαν καταλαλιάν, τὴν φιλαργυρίαν, Ἐμμέλεια Ἀνθοῦσα, σὺν Νόννῃ καὶ εὐκάρπους, ἡμᾶς ποιήσατε.

Μὴ Θεῷ μου δότε καταφρονεῖν, τῶν παραγγελμάτων, καὶ θελήματος ἀγνοεῖν, ἀλλ’ ᾧ εὐπροσδέκτοις, εὐχαῖς ὑμῶν Μητέρες, τὸν φωτισμὸν καὶ γνῶσιν, πᾶσι παράσχητε.

Νόσων ἀλγηδόνων καὶ συμφορῶν, τοὺς ὑμῶν τιμώντων, θείαν Σύναξιν εὐλαβῶς, ὦ σεμναὶ Μητέρες, λυτρώσασθε ἐν τάχει, καὶ δότε σωτηρίας πόμα οὐράνιον.

Ὅλην τὴν καρδίαν πρὸς τὸν Θεόν, ἐν τῇ προσευχῇ μου, καθ' ἑκάστην ἀναπνοήν, δότε πιστῶς ἔχειν, ὥσπερ λαμπάδος φλόγα, Ἱεραρχῶν Μητέρες, νοῦν τε φιλόπονον.

Σῶσον ταῖς πρεσβείαις Σῶτερ Χριστέ, ψυχὰς τῶν ὑμνούντων, τὰς Μητέρας Ἱεραρχῶν, χάριν Σὴν παράσχου, ῥῶσιν δαψιλεστάτην, ἁμαρτημάτων λύσιν, ἄμφω ὑγείαν τε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾽ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὕμνοις, τὰς Μητέρας τῶν σοφῶν, θείων Διδασκάλων ἐκθύμως, Ἱεραρχῶν τῶν Τριῶν, ᾄσωμεν φιλέορτοι, ἐπιζητοῦντες αὐτῶν, ταῖς πρεσβείαις πρὸς Κύριον, καὶ δράμωμεν πίστει, ταύτας περιπτύξασθε, ὥσπερ υἱοὶ ποθητῶς, κράζοντες· Ἐμμέλεια Νόνα, δότε σὺν Ἀνθούσῃ τὰ κρείττω, πᾶσι καὶ ὑγείαν ἀναφαίρετον.

Χαίρει, ἡ Ἐμμέλεια ἐν σοί, Ἅγιε Βασίλειε μάκαρ, ἀλλὰ καὶ Νόννα σκιρτά, ὦ σοφὲ Γρηγόριε, θεολογίας κρουνέ, ἡ δ᾽ Ἀνθοῦσα ἀγάλλεται, ἐν σοὶ Ἰωάννη, πάγχρυσε Χρυσόστομε, ὅθεν ἡμᾶς μητρικῷ, γάλακτι νῦν θρέψατε πάντας, ὥσπερ τοῖς υἱοῖς εὐσεβείας, καὶ Θεοῦ τὴν χάριν καταπέμψατε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.